### XXIV [Asclep. XXXV G.–P.]

*πορφυρέην μάστιγα καὶ ἡνία σιγαλόεντα*
*Πλαγγὼν εὐίππων θῆκεν ἐπὶ προθύρων,*
*νικήσασα κέλητι Φιλαινίδα τὴν πολύχαρμον*
*ἑσπερινῶν πώλων ἄρτι φρυασσομένων.*
*Κύπρι φίλη, σὺ δὲ τῇδε πόροις νημερτέα νίκης*
*δόξαν, ἀείμνηστον τήνδε τιθεῖσα χάριν.*

### XXV [Asclep. XXXVI G.–P.]

*σήν, Παφίη Κυθέρεια, παρ᾽ ἠιόν᾽ εἶδε Κλέανδρος*
*Νικοῦν ἐν χαροποῖς κύμασι νηχομένην,*
*καιόμενος δ᾽ ὑπ᾽ ἔρωτος ἐνὶ φρεσὶν ἄνθρακας ὡνήρ*
*ξηροὺς ἐκ νοτερῆς παιδὸς ἐπεσπάσατο.*
*χὠ μὲν ἐναυάγει γαίης ἔπι, τὴν δὲ θαλάσσης*
*ψαύουσαν πρηεῖς εἴχοσαν αἰγιαλοί.*
*νῦν δ᾽ ἴσος ἀμφοτέροις φιλίης πόθος, οὐκ ἀτελεῖς γάρ*
*εὐχαὶ τὰς κείνης εὔξατ᾽ ἐπ᾽ ἠιόνος.*

### XXVI [Asclep. XXXVII G.–P.]

*οὔ μοι θῆλυς ἔρως ἐγκάρδιος, ἀλλά με πυρσοί*
*ἄρσενες ἀσβέστῳ θῆκαν ὑπ᾽ ἀνθρακιῇ.*
*πλειότερον τόδε θάλπος· ὅσον δυνατώτερος ἄρσην*
*θηλυτέρης, τόσσον χὠ πόθος ὀξύτερος.*